# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ

# ΕΥΔΟΚΙΑΣ

## ΤΗΣ ΑΠΟ ΣΑΜΑΡΕΙΤΩΝ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ Α΄ ΜΑΡΤΙΟΥ




ΜΑΡΤΙΟΥ
1η (Α΄)

# ΜΑΡΤΙΟΥ Α΄.

## ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΕΥΔΟΚΙΑΣ ΤΗΣ ΑΠΟ ΣΑΜΑΡΕΙΤΩΝ

*Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.*

*Ἱστῶμεν Στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.*

*Ἦχος δ'. Ἔδωκας σημείωσιν.*

Ἅπασαν ἀπόλαυσιν, ἡδυπαθείας ἐμίσησας, ἐπιγνώσει τοῦ κρείττονος, καὶ βίον ἰσάγγελον, πίστει ὑπελθοῦσα, πολύτιμον σκεῦος, ὤφθης τῆς χάριτος Χριστοῦ, ὃν δι' ἀθλήσεως μεγαλύνασα, μεγάλων κατηξίωσαι, ἀνταποδόσεων ἔνδοξε, Εὐδοκία πρεσβεύουσα, ὑπὲρ τῶν εὐφημούντων σε.

Πρότερον ἀσκήσασα, καὶ τῆς σαρκὸς τὰ σκιρτήματα, ἐγκρατείᾳ μαράνασα, ἀθλήσει τὸ δεύτερον, τοῦ ἐχθροῦ καθεῖλες, τὰς μηχανουργίας, καὶ νίκην ἦρας κατ' αὐτοῦ, ὦ Εὐδοκία θεομακάριστε· διό σε ἐστεφάνωσεν, ἐπὶ διπλοῖς ἀγωνίσμασιν, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καρδίας ταῖς αὔλαξι, σπόρον τὸν θεῖον εἰσδέδεξαι, ὡς γῆ πίων θεόπνευστε, καὶ ἑκατοστεύοντα, μαρτυρίου στάχυν, ἐξήνθησας ὄντως, καὶ ἀποθήκαις νοηταῖς, ἐθησαυρίσθης σθένει τοῦ Πνεύματος, τοῦ σὲ μεταποιήσαντος, καὶ ἀλλοιώσει τῇ κρείττονι, ἀλλοιώσαντος χάριτι, Εὐδοκία πανεύφημε.

Νεκροὺς ἐξανέστησας, ζωοποιῷ σου προσφθέγματι, Εὐδοκία πανεύφημε, νεκρώσασα πάνσοφε, ἐγκρατείας πόνοις, τοῦ σώματος πάθη· καὶ νῦν οἰκεῖς τοὺς οὐρανούς, μετὰ Μαρτύρων καλῶς τελέσασα, τὸν δρόμον τῆς ἀθλήσεως, τῇ συνεργείᾳ τοῦ Πνεύματος, ὑπὲρ πάντων τῶν πίστει σε, ἀνυμνούντων πρεσβεύουσα.

*Δόξα. Ἦχος πλ. β'.*

Καταλιποῦσα τὰ τερπνά, Εὐδοκία τοῦ βίου, ἡ Ὁσία καὶ Μάρτυς, καὶ Σταυρὸν ἀραμένη ἐπ' ὤμων, προσῆλθε τοῦ νυμφευθῆναί σοι Χριστέ, καὶ σὺν οἰμωγαῖς δακρύων ἐβόα σοι· Μή με τὴν πόρνην ἀπορρίψῃς, ὁ ἀσώτους καθαίρων· μή μου τὰ δάκρυα παρίδῃς, τῶν δεινῶν ὀφλημάτων· ἀλλὰ δέξαι με, ὥσπερ τὴν πόρνην ἐκείνην, τὴν τὸ μύρον σοι προσενέγκασαν, καὶ ἀκούσω κἀγώ· Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...

*Ἀπόστιχα.*

*Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

Φέγγει τῷ νοητῷ, κατέλιπες τὸ σκότος, τῆς ἁμαρτίας Μῆτερ, καὶ τῷ Χριστῷ προσῆλθες, λιποῦσα τὰ ἐπίγεια.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ πρόσεσχέ μοι.

Πόνοις ἀσκητικοῖς, λαμπρῶς θαυμαστωθεῖσα, ἀθλήσει Εὐδοκία, τοῖς πᾶσιν ὑπεμφαίνεις, Χριστοῦ δόξαν τὴν ἄρρητον.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Λόγῳ ζωοποιῷ, Χριστοῦ τῇ ἐπικλήσει, νεκροὺς ἐγείρεις Μῆτερ, τὴν νέκρωσιν τῆς πλάνης, εἰς τέλος θριαμβεύσασα.

*Δόξα. Τριαδικόν.*

Κράτος ἓν ἀμερές, Πάτερ Υἱὲ καὶ Πνεῦμα, σῶζε τοὺς λατρευτάς σου, πρεσβείαις εὐπροσδέκτοις, τῆς σῆς Ὁσιομάρτυρος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἤθλησε καρτερῶς, ρωσθεῖσα τῇ δυνάμει, τοῦ σοῦ Υἱοῦ Παρθένε, ἡ Μάρτυς Εὐδοκία, ὑμνοῦσά σε Πανύμνητε.

***Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.***

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους στ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῆς Ἁγίας.

*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Καταυγασθεῖσα τῇ αἴγλῃ τοῦ θείου Πνεύματος, διδασκαλίαις θείαις, Γερμανοῦ τοῦ Ὁσίου, ἐδέξω εὐδοκίας τῆς θεϊκῆς, Εὐδοκία τὴν ἔλλαμψιν, καὶ τὸν τοῦ σκότους προστάτην ἔργοις φωτός, θεοφόρε ἀπημαύρωσας.

Ἀποκαλύψεσι θείαις γνῶσιν τὴν κρείττονα, λαμπρῶς εἰσδεξαμένη, τῷ Σωτῆρι προσῆλθες, ᾧ πίστει νυμφευθεῖσα πλοῦτον τὸν σόν, θεαρέστως ἐσκόρπισας, καὶ ἀρετῶν ἐκομίσω τὸν θησαυρόν, Εὐδοκία θείοις σκάμμασι.

Μαρτυρικῶς ἐναθλοῦσα ἐχθροὺς κατῄσχυνας, θεόφρον Εὐδοκία, στερροτάτῃ καρδίᾳ, νεκροὺς δὲ ὡς ἐξ ὕπνου λόγῳ τῷ σῷ, παραδόξως ἐγείρασα, πλείστους προσάγεις τῇ πίστει τῇ τοῦ Χριστοῦ, τῶν θαυμάτων σου τῇ χάριτι.

*Προσόμοια ἕτερα. Ἦχος ὁ αὐτός. Πανεύφημοι Μάρτυρες.*

Λιποῦσα σαρκὸς τὰς ἡδονάς, Εὐδοκία πάνσεμνε, ἀλλοιωθεῖσα τῇ χάριτι, τοῦ θείου Πνεύματος, ὡς ᾠσὶν ἐδέξω, λόγον τὸν σωτήριον, τῆς θεογενεσίας τοῖς νάμασι, πιστῶς ἐτρύφησας, καὶ Κυρίῳ εὐηρέστησας, ἐγκρατείᾳ, καὶ πόνοις ἀθλήσεως.

Ἀνέτειλεν ἄνωθεν ἐν σοί, ἡ αὐγὴ τῆς χάριτος· ὅθεν τὸν ζόφον κατέλιπες, τῆς ματαιότητος, καὶ τὸν συναχθέντα, πλοῦτον ψυχῇ ἔμφρονι, διένειμας καὶ χαίρουσα ἔδραμες, Χριστοῦ τοῖς ἴχνεσιν, Εὐδοκία παμμακάριστε· διὰ τοῦτο, θαυμαστῶς δεδόξασαι.

Ἀσκήσει νεκρώσασα σαρκός, πάντα τὰ φρονήματα, ἀθλητικοῖς ἀγωνίσμασι, Χριστὸν ἐδόξασας, καὶ θαυμάτων ὤφθης, ὄργανον θεόπνευστον, νεκροὺς ζωοποιῷ σου προσφθέγματι, Μῆτερ ἐγείρουσα, Εὐδοκία καὶ πρεσβεύουσα, ὑπὲρ πάντων, τῶν μακαριζόντων σε.

*Δόξα. Ἦχος πλ. δ'.*

Τῆς εὐδοκίας τοῦ Θεοῦ, τὴν ἀποκάλυψιν ἐδέξω, φωτισθεῖσα τὰ ὄμματα τῆς ψυχῆς θεόπνευστε· ὁ γὰρ λόγος τῆς χάριτος, τῆς ἁμαρτίας τὴν παλαίωσιν ἐν σοὶ νεκρώσας, καινότητα ζωῆς ἐβράβευσε, τὴν ἐν Χριστῷ ἀνάπλασιν, δεξαμένῃ διὰ πίστεως· καὶ ἐν ἀσκήσει ἀρετῶν, καὶ τῇ ἀθλήσει δι' αἵματος, τῆς δωρεᾶς τὸ μέγε-

θος δοξάσασα, ἐπαξίων ἔτυχες ἐπάθλων, Ὁσιομάρτυς Εὐδοκία ἀξιάγαστε. Ἀλλ᾽ ὡς ἔχουσα παρρησίαν, μὴ διαλίπῃς δυσωποῦσα, σῴζεσθαι ἡμᾶς πάσης θλίψεως.

*Καὶ νῦν. Ὁ αὐτός.*

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, τοῖς ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ Ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱὸς διπλοῦς τὴν φύσιν, ἀλλ᾽ οὐ τὴν ὑπόστασιν. Διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε Μῆτερ Ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.*

*(Κεφ. μγ΄. 9).*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

*(Κεφ. γ΄. 1).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς

ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## *Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
## *(Κεφ. ε'. 15).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δ' αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## *Εἰς τὴν Λιτήν, Ἰδιόμελα.*
## *Ἦχος α'.*

Φῶς θεῖον τῇ ψυχῇ σου, Προφητικῶς ἀνέτειλε, καὶ ἡ ἐκ τούτου εὐφροσύνη, Εὐδοκία θεόφρον· τὴν γὰρ θείαν ἀλλοίωσιν, ἀθρόον δεξαμένη, τὸν ἐν Χριστῷ ἐνεδύσω καινὸν ἄνθρωπον, ἀπαρνηθεῖσα τὴν φθοράν, καὶ τὰ ἔργα τοῦ σκότους· καὶ θείῳ ἔρωτι τρωθεῖσα, ἐν ἀσκήσει οὐρανόφρων ὤφθης, καὶ ἐν ἄθλοις περιφανής, ταῖς τῶν θαυμάτων δυνάμεσι. Χριστὸς γὰρ ὃν ἐπόθησας, λαμπρῶς σε ἐμεγάλυνεν· ᾧ πρέσβευε μακαρία, δοῦναι ἡμῖν ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

## *Ὁ αὐτός.*

Ὅλη ψυχῇ ἀκολουθήσασα, τῷ σὲ καλέσαντι Χριστῷ, Γερμα-

νοῦ ταῖς ὑποθήκαις, πρὸς θείας ἤρθης ἀναβάσεις· τῆς γὰρ κρείττονος ζωῆς, τοὺς καρποὺς ἐγεώργησας, καὶ τῆς θείας εὐδοκίας φερωνύμως, ἐμυήθης τὰς δωρεάς. Ἀλλ' ὡς ἐν ἄθλοις ἀήττητος, Ὁσιομάρτυς Εὐδοκία, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ὁ αὐτός.*

Ἱδρῶσιν ἀσκήσεως, καθαρθεῖσα τῶν προσύλων, τῆς ἐπιπνοίας τοῦ Πνεύματος, ἐπλήσθης θεόληπτε· καὶ τύπος θείων ἐπιδόσεων, ταῖς μοναζούσαις φανεῖσα, θαυμάτων τὴν δύναμιν, ταῖς χερσὶν ἐδέξω· ὅθεν νεκροὺς μὲν ὡς ὑπνοῦντας ἤγειρας, τοὺς δὲ ξεσμοὺς τοῦ σώματος, ὡς ἄσαρκος ἤνεγκας· καὶ πλείστους Χριστῷ προσαγαγοῦσα, ὡς θῦμα εὐπρόσδεκτον, καὶ ἱερεῖον λογικόν, ἐπὶ τέλει αὐτῷ προσήχθης, τῇ τομῇ τοῦ αὐχένος· καὶ νῦν ἀμέσως αὐτῷ συνοῦσα, Ὁσιομάρτυς Εὐδοκία, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β'.*

Ἀπ' οὐρανοῦ χρηματισθεῖσα, τῆς σωτηρίας τὸ Εὐαγγέλιον, καὶ δι' Ἀγγέλου πιστωθεῖσα, τῆς μετανοίας τὴν χαράν, οὐκ ἀπειθὴς ἐγένου, τῇ οὐρανίῳ ὀπτασίᾳ· ἀλλὰ τῷ λόγῳ τῆς χάριτος, ὑποκλίνασα τὸ οὖς, τὸν μὲν πλοῦτον τὸν φθαρτὸν ἐμίσησας, τῆς ἀφθάρτου δὲ ζωῆς ἐπελάβου, καταλλήλως τῇ κλήσει, ἀγῶνας ἐπιδείξασα· καὶ νῦν ἐν τῷ ἀφθάρτῳ νυμφῶνι, ὡς Ὁσία καὶ Μάρτυς, Εὐδοκία σὺν Ἀγγέλοις χορεύουσα, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος γ'.*

Ἐν ἀδρείῳ φρονήματι, τῆς μαρτυρίας ὑπελθοῦσα τὸ στάδιον, τῷ οἰκείῳ αἵματι, τὴν τῆς ἀσκήσεως στολὴν ἐφοίνιξας, Εὐδοκία παμμακάριστε· τῶν γὰρ εἰδώλων τὴν πλάνην, τοῖς σοῖς ἀγῶσιν κατήσχυνας, θαυματουργοῦσα ἐν τῇ δυνάμει Χριστοῦ· καὶ δι' ἀμφοτέρων καμάτων, τῷ σῷ νυμφίῳ εὐαρεστήσασα, διπλοῦν ἐδέξω στέφανον, τὸν δρόμον τελέσασα. Ἀλλ' ἀπαύστως πρέσβευε, Ὁσιομάρτυς ἔνδοξε, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀφράστως κυήσασα, τὸν Βασιλέα καὶ Θεὸν ἡμῶν, ρυόμενον κόσμον τῆς ἀρχαίας ἀρᾶς, Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Ὅλην καταλείψασα, τὴν ματαιότητα κόσμου, καὶ πλοῦτον τὸν ρέοντα, καὶ σαρκὸς μισήσασα, τὴν ἀπόλαυσιν, τῆς Χριστοῦ πίστεως, ἐν τῇ σῇ καρδίᾳ, τὰ σωτήρια διδάγματα, ταῖς εἰσηγήσεσι,

Γερμανοῦ ἐδέξω τοῦ μάκαρος, καὶ ταῦτα ἐγεώργησας, θείων ἀρετῶν ἐπιδόσεσιν· ὅθεν Εὐδοκία, τῆς θείας εὐδοκίας τὰς λαμπράς, ἐκληρονόμησας χάριτας, ἱερῶς ἀθλήσασα.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸ Κύριον...

Ἄρασα ἐπ' ὤμων σου, ἐν οὐρανόφρονι γνώμῃ, Εὐδοκία πάνσεμνε, τὸν Σταυρὸν τοῦ Κτίστου σου, θείῳ ἔρωτι, σεαυτὴν ἅπασι, κόσμου τοῖς ἠδέσι, θείοις σκάμμασιν ἐσταύρωσας, καὶ ὥσπερ ἄγγελος, ἔζησας ἐν σώματι ἔνδοξε, καὶ τοῦ Ἁγίου Πνεύματος, σκήνωμα πολύτιμον γέγονας· ὅθεν τῶν θαυμάτων, ἐδέξω δαψιλῶς τὰς δωρεάς, καὶ τοῖς οἰκείοις σου αἵμασι, τὸν ἐχθρὸν ἀπέπνιξας.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Χαίρουσα ὑπέμεινας, τὰς χαλεπὰς ἀλγηδόνας, πτερουμένη ἔρωτι, Εὐδοκία πάνσεμνε, τοῦ νυμφίου σου, καὶ ξεσμῶν ἤνεγκας, τὰς πικρὰς ὀδύνας, δι' ὧν πᾶσαν τῆς νεκρώσεως, φθορὰν ἀπέρριψας, καὶ τῆς ἀφθαρσίας τὸ ἔνδυμα, Προφητικῶς ἠμφίεσαι, καὶ τομῇ τῆς κάρας διέκοψας, Μάρτυς ἐν ἐκστάσει, ἐχθρῶν τῶν νοητῶν τὰς κεφαλάς, καὶ τῷ Χριστῷ τελεώτερον, συνήφθης πανένδοξε.

*Δόξα. Ἦχος δ'.*

Ἀσκητικῇ διαπρέπουσα εὐδοκίᾳ, ἀθλητικῇ ἐλαμπρύνθης ἀγλαΐᾳ, Εὐδοκία καλλιμάρτυς θεόφρον· ἐν ὁσιότητι γὰρ θεοειδὴς ὡράθης, καὶ ἐν ἄθλοις μαρτυρίου, περιφανὴς καὶ ἀήττητος· καὶ νῦν πρέσβευε Χριστῷ, Ὁσιομάρτυς ἔνδοξε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων...

*Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.*

*Ἦχος γ'. Θείας πίστεως.*

Φόβον ἔνθεον, ἀναλαβοῦσα, κόσμου ἔλιπες, τὴν εὐδοξίαν, καὶ Κυρίῳ Εὐδοκία προσέδραμες· οὗ τὸν ζυγὸν τῇ σαρκὶ σου βαστάσασα, ὑπερφυῶς ἠγωνίσω δι' αἵματος. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Θεοτοκίον.*

Σὲ τὴν μεσιτεύσασαν...

Καὶ Ἀπόλυσις.

## *Εἰς τὸν Ὄρθρον.*

### *Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.*

### *Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Τὴν νύκτα τῶν παθῶν, τῷ φωτὶ τοῦ Κυρίου, λιποῦσα νουνεχῶς, Εὐδοκία θεόφρον, ἀσκήσεως τοῖς σκάμμασιν, ἐν τῷ κόσμῳ διέλαμψας, καὶ ἀθλήσασα, πρὸς τὸ ἀνέσπερον φέγγος, ἀνελήλυθας, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν πίστει τιμώντων σε.

### *Θεοτοκίον.*

Κυήσασα σαρκί, τὸν Δεσπότην τῶν ὅλων, καὶ μείνασα Ἁγνή, ὡς πρὸ τόκου παρθένος, ἁγνεύειν με ἀξίωσον, νῷ καὶ λόγοις καὶ πράξεσιν, ἐνθυμήσεσι, καὶ λογισμοῖς τῆς καρδίας, ἵνα μέτοχος, τῆς οὐρανῶν βασιλείας, γενήσωμαι Ἄχραντε.

### *Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.*

### *Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὴν ἀφθονίαν τοῦ σοῦ πλούτου Ὁσία, ὃν δι' ἀτόπου ἐργασίας συνῆξας, τῷ τοῦ Χριστοῦ προστάγματι σκορπίσασα, χαίρουσα ἐπτώχευσας, καὶ ψυχῇ καὶ αἰσθήσει, καὶ σεμνῇ διέπρεψας, ἐπὶ γῆς πολιτείᾳ, μαρτυρικῷ δὲ τέλει πρὸς ζωήν, ὦ Εὐδοκία, τὴν ἄνω ἀνέδραμες.

### *Θεοτοκίον.*

Ἡ τῶν Ἀγγέλων ἀληθὴς εὐφροσύνη, καὶ τῶν ἀνθρώπων σωτηρία καὶ σκέπη, Θεογεννῆτορ Κόρη Ἀειπάρθενε, πάσης ἀπολύτρωσαι, ἐπηρείας καὶ βλάβης, τῆς ἐκ τοῦ ἀλάστορος, τοὺς πρὸς σὲ ἀφορῶντας, καὶ ἐκβοῶντας ὅλης ἐκ ψυχῆς· Χαῖρε Παρθένε, ἡμῶν ἡ βοήθεια.

### *Μετὰ τὸν Πολυέλεον, Κάθισμα.*

### *Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἐγκρατείας σκάμμασιν ἐκκαθαρθεῖσα, μαρτυρίου ἔλαμψας, ταῖς καθαραῖς μαρμαρυγαῖς, ὦ Εὐδοκία κραυγάζουσα· Σύ μου Οἰκτίρμον ἰσχὺς καὶ κραταίωμα.

### *Θεοτοκίον.*

Ἐξ ἁγνῶν αἱμάτων σου σεσαρκωμένος, προελθὼν ὁ Κύριος, σὲ προστασίαν ἀψευδῆ, Θεογεννῆτορ ἀνέδειξε, τοῖς προσιοῦσι πιστῶς τῇ πρεσβείᾳ σου.

*Τὸ Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.*
*Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.*
*Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...*
*Εὐαγγέλιον τῆς γ' Κυριακῆς τῶν Νηστειῶν.*
*Ὁ Ν'. Δόξα. Ταῖς τῆς σῆς Ἁγίας...*
*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...*
*Ἰδιόμελον. Ἦχος πλ. β'.*
*Στίχ. Ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου...*

Τῇ ἀγάπῃ τοῦ Χριστοῦ, τὴν ψυχὴν στομωθεῖσα, τὸ σῶμα ἐνέκρωσας, ἐγκρατείας τοῖς πόνοις· καὶ τὴν καλὴν ὁμολογήσασα ὁμολογίαν, διὰ μαρτυρικῶν ἀγώνων, τῆς Εὔας ἐτρύγησας, ἐπιτηδείως τὸν πόθον, Ὁσιομάρτυς θεόφρον· καὶ νῦν ἐν μεθέξει θείᾳ θεουμένη, Εὐδοκία πρέσβευε, δοῦναι ἡμῖν πταισμάτων ἄφεσιν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου, καὶ τῆς Ἁγίας τοῦ Μηναίου.
οὗ ἡ Ἀκροστιχίς. Τῆς Εὐδοκίας τοὺς ἀγῶνας αἰνέσω.
*Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.*

«Ἄσωμεν τῷ Κυρίῳ, τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ, ἐν Ἐρυθρᾷ θαλάσσῃ, ὅτι μόνος ἐνδόξως δεδόξασται».

Τὴν ἐξ ἀπροσεξίας, σκότωσίν μοι Μάρτυς ἐπισκήψασαν, πρεσβειῶν σου ἀκτῖσιν, Εὐδοκία ὑμνοῦντί σε σκέδασον.

Ἤγρευσεν ἡ σαγήνη, λόγων θεοπνεύστων καλλιμάρτυς σε, ἀθανάτου τραπέζης, ἀπολαύσεως θείας ἐντρύφημα.

Στέμμα τῆς ἀφθαρσίας, καὶ τὴν διαμένουσαν ἀπόλαυσιν, τὰ γῆς παρωσαμένη, Εὐδοκία ἀξίως κεκλήρωσαι.

*Θεοτοκίον.*

Ἔλυσε τοῦ θανάτου, ἐκ τῆς καταδίκης με Πανάμωμε, ὁ ἐκ σοῦ Θεὸς Λόγος, σαρκωθεὶς διὰ σπλάγχνα χρηστότητος.

Καταβασίαι. Ἀνοίξω τὸ στόμα μου, ἢ κατὰ τὴν τυπικὴν διάταξιν.

*Ὠδὴ γ'. Ὁ Εἱρμός.*

«Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων σοι Κύριε· σὺ εἶ τὸ φῶς, τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου».

Ὕλην καταλείψασα, τὴν πολυποίκιλον ἔνδοξε, κόσμου φθαρτοῦ, ὄλβον Εὐδοκία, ἀναφαίρετον εἴληφας.

Δόξης ἀγαλλίαμα, τῆς μετανοίας σου σύμβολον, ἐν οὐρανοῖς, σεπτὴ κατιδοῦσα, ἐφωτίσθης βαπτίσματι.

Ὅλην σου τὴν ὕπαρξιν, διασκορπίσασα πάνσεμνε, τῶν ἐν Χριστῷ, ἀγαθῶν ἐκτήσω, θησαυρὸν τὸν οὐράνιον.

*Θεοτοκίον.*

Ὅλην μου τὴν ἔφεσιν, Θεογεννήτρια δέομαι, πρὸς τὸν ἐκ σοῦ, ἴθυνον τεχθέντα, τῶν παθῶν ρυομένη με.

*Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.*

Φωτισθεῖσα τῇ αἴγλῃ τῇ θεϊκῇ, τὸν τῆς πλάνης κατέλιπες σκοτασμόν, καὶ βίον ἀνέλαβες, μετὰ σώματος ἄϋλον· χαρισμάτων δὲ θείων, πλησθεῖσα τοῦ Πνεύματος, ἐκ ψιλῆς προσρήσεως, νεκροὺς ἐξανέστησας· ὅθεν ἐπὶ τέλει, μαρτυρίου στεφάνῳ, ἐνθέως κεκόσμησαι, καὶ τὸν δόλιον ᾔσχυνας, Εὐδοκία Ἰσάγγελε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Θεοτοκίον.*

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, ἐννοῶν μου τὰς πράξεις τὰς πονηράς· πῶς ἀπολογήσωμαι, τῷ Κριτῇ ὁ ταλαίπωρος ; πρὸς τὴν σὴν δὲ βλέπων, Εἰκόνα Πανύμνητε, ἀναψυχὴν λαμβάνω, Κυρία τῶν πόνων μου· καὶ ἀπεγνωσμένος, σοὶ προσπίπτω κραυγάζων· Ἐλέησον, οἴκτειρον, Παναγία μου πρόφθασον, ἐν ἡμέρᾳ τῆς κρίσεως· ὅπως ταῖς πρεσβείαις ταῖς σαῖς, ὁ Υἱός σου ἵλεώς μοι γένηται· ἐπείπερ ἄλλην ἐλπίδα, ἐκτός σου οὐ κέκτημαι.

*Ὠδὴ δ'. Ὁ Εἱρμός.*

«Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα».

Καλλονῇ ὑπερέχουσα, σώματος ἀξίως ψυχῆς ἐξήνθησας, ὡραιότητα κατάλληλον, πόνοις Εὐδοκία ἀπαστράπτουσα.

Ἱεραῖς εἰσηγήσεσι, ταῖς τοῦ Γερμανοῦ τὴν κρίσιν εὐΐλατον, δι' ἐλέους Μάρτυς εἴληφας, τῶν πρὶν ἀθεμίτων ἀλογήσασα.

Ἀπημαύρωσας ἅπασαν, πλάνης προσβολήν· φωτὸς ἀληθείας γάρ, ὁδηγὸν ἔσχες Ἀρχάγγελον, θείας σοι ἐμφάσεις ἐκκαλύπτοντα.

*Θεοτοκίον.*

Σὺ Πανάμωμε Δέσποινα, σάλον τῶν κυμάτων ψυχῆς μου πράϋνον, ἁμαρτίας με τοῦ κλύδωνος, καὶ τῆς τρικυμίας ἀπαλλάττουσα.

### Ὠδὴ ε'. Ὁ Εἱρμός.

«Ὀρθρίζοντες βοῶμέν σοι Κύριε· Σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν».

Τὸν βόρβορον τῶν πράξεων δάκρυσιν, Εὐδοκία, λουτρῷ τε Βαπτίσματος, ἡλίου πλέον ἐξέλαμψας.

Οὐ πλοῦτος, οὐ θωπεῖαι, οὐ μάστιγες, οὐ ξεσμοί σε, οὐ ξίφος, οὐ θάνατος, Θεοῦ χωρίσαι δεδύνηνται.

Ἀσκήσει Εὐδοκία τὸ πρότερον, εἶτα σεμνή, αἵματι ἀθλήσεως, τὸν σὸν νυμφίον ἐδόξασας.

### Θεοτοκίον.

Ὑλώδους προσπαθείας μου ἄκανθαν, Θεοτόκε, φλέξον τῷ μὴ φλέξαντι, πυρὶ τὴν θείαν γαστέρα σου.

### Ὠδὴ στ'. Ὁ Εἱρμός.

«Χιτῶνά μοι παράσχου φωτεινόν, ὁ ἀναβαλλόμενος, τὸ φῶς ὡς ἱμάτιον, Πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν».

Στερρῶς τῷ τῆς ἀθλήσεως πυρί, σεαυτὴν λιπάνασα, βασάνοις ἀνάλωτος, Εὐδοκία ἀνεδείχθης σεβάσμιε.

Ἀγάπης ἐραστῶν τῶν φθαρτικῶν, σεμνὸν προτιμήσασα, Νυμφίον τῷ ἔρωτι, Εὐδοκία τῷ ἀφθάρτῳ ἐναπέθου σαυτήν.

Ξεσμοὺς τοὺς τῆς σαρκός σου ἀνδρικῶς, Μάρτυς ὑπομείνασα, τὸ τῆς νεκρώσεως, ἀπεβάλου Εὐδοκία χιτώνιον.

### Θεοτοκίον.

Γαλήνης ἡ κυήσασα Χριστόν, τὸν αἴτιον Δέσποινα, τὸν ἄγριον κλύδωνα, τῶν παθῶν μου Παναγία ἡμέρωσον.

### Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ εὐδοκήσας ἐκ βυθοῦ ἀπωλείας, πρὸς εὐσεβείας τὸν ἀκρότατον ὅρον, ἀναγαγεῖν σε ἔνδοξε ὡς λίθον ἐκλεκτόν, οὗτος καὶ τὸν βίον σου, τῇ ἀθλήσει λαμπρύνας, χάριν ἰαμάτων σοι, Εὐδοκία παρέχει· ὃν ἐκδυσώπει σῴζεσθαι ἡμᾶς, Ὁσιομάρτυς, Ἀγγέλων ἐφάμιλλε.

### Ὁ Οἶκος.

Καταυγασθεῖσα τῷ φωτί, τῆς θείας εὐδοκίας, ἐξ ἀγνωσίας ζοφερᾶς, καὶ σκοτασμοῦ ἁμαρτιῶν, ὥσπερ λαμπὰς περιφανής, ἀνέλαμψας θεόφρον, τὴν ζωοποιὸν τοῦ Χριστοῦ φωτοχυσίαν δεξαμένη πλουσίως ἐν τῇ καρδίᾳ, Εὐδοκία παμμακάριστε· ἔνθεν τοῦ πολλοῦ σου πλούτου τὸν ὄγκον, θεοφιλῶς διανείμασα, γυμνὴ φροντίδων κό-

σμου, καὶ ματαίων ἐλπίδων ἐξῆλθες, εἰς ἀναζήτησιν τοῦ οὐρανίου νυμφίου· καὶ τοῦτον εὑροῦσα, δι' ἀσκήσεως ἱερᾶς, καὶ μαρτυρικῆς ἀθλήσεως, μυστικῶς αὐτῷ συνήφθης, καὶ μάλα εὐφράνθης, τῇ ἀπορρήτῳ ἑνώσει, καὶ θαυμάτων χάριν εἴληφας, καὶ ζωὴν αἰώνιον ἐτρύγησας· καὶ νῦν δυσωποῦμέν σε οἱ τελοῦντες τὴν μνήμην σου, ἱκέτευε ἐκτενῶς, σῴζεσθαι ἡμᾶς, Ὁσιομάρτυς, Ἀγγέλων ἐφάμιλλε.

## ΣΥΝΑΞΑΡΙΟΝ

*Μὴν Μάρτιος, ἔχων ἡμέρας λα'.*
*Ἡ ἡμέρα ἔχει ὥρας ιβ', καὶ ἡ νὺξ ὥρας ιβ'.*

Τῇ α' τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐδοκίας, τῆς ἀπὸ Σαμαρειτῶν.

Στίχ. Ἡ Σαμαρεῖτις οὐχ ὕδωρ Εὐδοκία,

*Ἀλλ' αἷμα, Σῶτερ, ἐκ τραχήλου σοι φέρει.*
*Μαρτίου ἀμφὶ πρώτῃ ἡ Εὐδοκία ξίφος ἔτλη.*

Ταῖς αὐτῆς πρεσβείαις, Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ ζ'. Ὁ Εἱρμός.*

«Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν Βαβυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ».

Ὡς ζωῆς κληρονόμος, καὶ θανάτου ρυσθεῖσα τοῦ ψυχοφθόρου σαφῶς, εὐχῇ τοὺς τεθνεῶτας, ζωοῦσα Εὐδοκία, τῷ Χριστῷ ἀνεκραύγαζες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ναὸς τῆς ἁμαρτίας, προϋπάρξασα Μάρτυς σαυτὴν καθῆρας Θεῷ, ναὸν ἡγιασμένον, ἐνάρετον δεικνῦσα, καλλιμάρτυς κραυγάζουσα· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀσκητικοῖς ἱδρῶσι, πιανθεῖσα ἐλαία ὤφθης κατάκαρπος· ἀθλήσεως δὲ ξίφει, καὶ λύθρῳ Εὐδοκία, τρυγωμένη ἐκραύγαζες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Συντριβέντα κακίᾳ, καὶ δειναῖς ἁμαρτίαις καταβριθόμενον, Ἀμνὸν τὴν ἁμαρτίαν, τὸν αἴροντα τοῦ κόσμου, ἡ κυήσασα Δέσποινα, ἐπικρατείας αὐτῶν, Παρθένε τήρησόν με.

*Ὠδὴ η'. Ὁ Εἱρμός.*

«Τὸν Βασιλέα, τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας».

Ἄυλον πῦρ σοι, ἐνδομυχοῦν ἐν τοῖς κόλποις, θεῖος ἄνθραξ πάνσεμνε ὑπάρχων, ἔφλεξε τυράννους, ἀλώβητον τηρῶν σε.

Ἱδρώτων θείων, τὰς ἀμοιβὰς Εὐδοκία, ἰαμάτων εἴληφας πλημμύρας, νόσους θανατοῦσα, καὶ τοὺς νεκροὺς ζωοῦσα.

Ἔσβεσας Μάρτυς, τῆς ἀσεβείας τὴν φλόγα, τῶν αἱμάτων σου τοῖς ρείθροις Εὐδοκία, καὶ ζωῆς πρὸς ὕδωρ, ἰθύνθης τῆς ἀγήρω.

*Θεοτοκίον.*

Νενεκρωμένην, ταῖς ἡδοναῖς τὴν ψυχήν μου, Θεοτόκε ζώωσον· ζωὴν γάρ, μόνη ἀπειράνδρως, γεγέννηκας Παρθένε.

*Ὠδὴ θ'. Ὁ Εἱρμός.*

«Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε Ἁγνή, σὺν Ἀσωμάτων χορείαις σε μεγαλύνοντες».

Ἐλύθης τῶν προσκαίρων, Μάρτυς Εὐδοκία, καὶ ἐφετῶν τὸ ἀκρότατον εἴληφας, πρὸς τὸν Θεὸν διὰ ξίφους ἐπιδημήσασα.

Σὺν Μάρτυσιν ὡς Μάρτυς, καὶ σὺν ταῖς Ὁσίαις, ὡς Ἀσκητῶν ἀκροθίνιον ἔλαμψας, θαυματουργὸς Εὐδοκία δειχθεῖσα ἔνδοξε.

Στολαῖς τῆς ἀφθαρσίας, καθωραϊσμένη, καὶ σὺν Ἀγγέλοις ἀπαύστως χορεύουσα, ὑπὲρ ἡμῶν Εὐδοκία Χριστὸν ἱκέτευε.

*Θεοτοκίον.*

Ὡς θείαν προστασίαν, καὶ ὡς ἀσφαλῆ σε, ἐλπίδα μόνην κατέχω Μητρόθεε, ἁμαρτιῶν καὶ κινδύνων ἐκλυτρωθῆναί με.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Τῆς πλάνης τὴν σκοτόμαιναν, ἐμφρόνως ἀπορρίψασα, τῆς εὐσεβείας ἐδέξω, τὰς φωταυγεῖς διαδόσεις, καὶ μαρτυρίου αἵμασιν, ὡς θεῖον ὁλοκάρπωμα, Χριστῷ προσήχθης ἔνδοξε, ὑπὲρ ἡμῶν Εὐδοκία, διὰ παντὸς δυσωποῦσα.

*Θεοτοκίον.*

Θεὸν τὸν Ὑπερούσιον, οὐσίαν τὴν ἀνθρώπινον, ἀναλαβόντα Παρθένε, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, δι' εὐσπλαγχνίαν ἄμετρον, ὑπερφυῶς ἐκύησας· διὸ σε μεγαλύνομεν, ὡς τῆς ἡμῶν σωτηρίας, ἀρχὴν καὶ πύλην καὶ ρίζαν.

*Εἰς τοὺς Αἴνους.*

Ἱστῶμεν Στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

*Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ὡς ἀκήκοας ἔνδοξε, Γερμανοῦ τοῦ θεόφρονος, λόγον τὸν σωτήριον ἀναπτύσσοντος, φόβου τοῦ θείου τοῖς βέλεσιν, ἐπλήγης καὶ ἔλιπες, τοὺς ματαίους ἐραστάς, καὶ Κυρίῳ νενύμφευσαι, ἐκκαθάρασα, σεαυτὴν τῷ Βαπτίσματι τῷ θείῳ· διὰ τοῦτο Εὐδοκία, θεοπρεπῶς ἠνδραγάθησας.

Ἐν ἀσκήσει διέπρεψας, ἐν ἀθλήσει ἠρίστευσας, κατὰ τοῦ ἀλάστορος θείῳ Πνεύματι, ἐν ἀσθενείᾳ τῆς φύσεως, αὐτοῦ διολέσασα, τὴν ὀλέθριον ἰσχύν, Εὐδοκία πανεύφημε, καὶ ἐδόξασας, εὐσεβείας τὸ κράτος τοῖς σοῖς ἄθλοις, καὶ θαυμάτων ἐπιδείξει, Ὁσιομάρτυς θεόληπτε.

Τὴν ζωὴν ἐν σοὶ ἔσχηκας, ἐπανθοῦσαν τὴν κρείττονα, τῆς σαρκὸς νεκρώσασα τὰ σκιρτήματα· ὅθεν νεκροὺς ἐξανέστησας, εὐχῇ σου πρὸς Κύριον, καὶ ἀθλήσασα στερρῶς, Εὐδοκία πανθαύμαστε, ἀπενέκρωσας, τὸν νεκρώσαντα πάλαι τοὺς Γενάρχας, καὶ θεώσεως τὸν πλοῦτον, ἐπιτηδείως ἐτρύγησας.

Καὶ τὸν πλοῦτον σκορπίσασα, καὶ ὁσίως δουλεύσασα, Εὐδοκία πάνσεμνε τῷ νυμφίῳ σου, τούτου τὸ ἅγιον ὄνομα, ἀνόμοις ἐκήρυξας, καὶ ὑπέμεινας ξεσμούς, καὶ στρεβλώσεις τοῦ σώματος, ὡς ἀσώματος, καὶ τμηθεῖσα τῷ ξίφει νικηφόρος, πρὸς νυμφῶνας οὐρανίους, Ὁσιομάρτυς ἀνέδραμες.

*Δόξα. Ἦχος πλ. α'.*

Τὴν ἐν ἀσκήσει ἀρετήν, ἀθλητικῷ ἐλάμπρυνας αἵματι, Ὁσιομάρτυς Εὐδοκία πανθαύμαστε· τῆς γὰρ ἀγάπης Χριστοῦ, οὐδέν σε χωρίσαι ἴσχυσε, τῷ ἀχράντῳ κάλλει, νοερῶς ἀτενίζουσαν, καὶ ἔξω κόσμου γενομένην· ὅθεν νομίμως ἠγώνισαι, καὶ ἀξίως ἐδέξω, τὸ τῆς νίκης διάδημα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ παρέχοντος διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε...

*Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ἡ γ' καὶ στ' ᾠδή.

Ἀπόστολον ζήτει τῇ κε' Νοεμβρίου, Εὐαγγέλιον δέ, τῆς Τετάρτης τῆς γ' Ἑβδομάδος Ματθαίου.

Κοινωνικόν. Εἰς Μνημόσυνον αἰώνιον...

### *Μεγαλυνάριον.*

Χάρις εὐδοκίας τῆς θεϊκῆς, ἐν σοὶ Εὐδοκία, ἐνεργήσασα θαυμαστῶς, νύμφην σε Κυρίου, λαμπρῶς πεποικιλμένην, ἀσκήσει καὶ ἀθλήσει, ἔδειξε λάμψασαν.

### ΔΙΣΤΙΧΟΝ.

*Εὐδόκησον νῦν Εὐδοκία τοῖς ὕμνοις,*
*Οὓς σοι Γεράσιμος ἐξύφανεν ἤδη.*